# Week 9 PGM IV 3209-3254, VII 348-358, VII 740-55, VII 795-845, VIII 64-110; Homer, *Odyssey* xi.13-49 & *Kestoi* of Julius Africanus book 5 = PGM XXIII, Plutarch, *De E* 387bc

## IV 3209-3254

*Ἀφροδίτης φι<α>λομαντεῖον. ἁγνεύσας ἡμέρας ζʹ καὶ λαβὼν φιάλην λευκὴν πλῆσον ὕδατος καὶ ἐλαίου, πρότερον γράψας εἰς τὸν πυθμένα ζμυρνομέλανι· ‘ιιοχ χιφα· ελαμψηρ ζηλ αεηϊουω’ (γράμματα κε), ὑπὸ τὸν πυθμένα δὲ ἔξωθεν· ‘Ταχιήλ, χθονίη, δραξω’ (γράμματα ιη), καὶ κήρωσον λευκῷ κηρῷ. εἰς δὲ τὸν κύκλον ἔξωθεν τὸν ἄνω· ‘ϊερμι, φιλω ϛ ερικωμα δερκ[ω] μαλωκ γαυλη Ἀφριήλ ἐρωτῶ.’ λέγε γʹ. κείσθω δὲ ἐπὶ τοῦ ἐδάφους καὶ ἀτενίζων λέ[γε]· ‘ἐπικαλοῦμαί σε, τὴν μητέρα καὶ δέσποιν[αν] νυμφῶν, Ιλαουχ οβριη λουχ τλορ, εἴσ<ελθε>, φῶς ἱερόν, καὶ δὸς ἀπόκρισιν δείξασα τὴν καλήν σου μορφήν.’ εἶτα ἀτένιζε εἰς τὴν φιάλην. ἐπὰν ἴδῃς, ἄσπασαι καὶ λέγε· ‘χαῖρε, θεὰ μεγαλόδοξε Ιλαρα ουχ, καὶ εἴ μοι χρηματίζεις, ἔκτεινόν σου τὴν χεῖρα.’ ἐπὰν ἐκτείνῃ, ἀξιοῦ πρὸς τὰ ἐπερωτήματα. ἐπὰν δὲ μὴ ἐπακούσῃ, λέγε· ‘ἐπικαλοῦμαι τὴν Ιλαουχ, Ἵμερον γεννήσασαν, Ὥρας ἀγαθάς τε ὑμᾶς Χάριτας, ἐπικαλοῦμαι καὶ τὴν τῶν ἁπάντων διογενῆ Φύσιν, δίμορφον, ἀμερείην, εὐθείην, ἀφρωραίαν Ἀφροδίτην, δεῖξαί μοι τὸ καλόν σου φῶς καὶ τὸ καλόν σου πρόσωπον τῆς κυρίας Ιλαουχ. ἐξορκίζω σε, πυριδώρα, ελγιναλ, καὶ μεγάλα ὀνόματα· οβριητυχ· κερδυνουχιληψιν νιου ναυνιν ιουθου θριγξ· τατιουθ γερτιαθ· γεργερις· γεργεριη θειθι’. ἀξιώσῃς καὶ <κατὰ> τῶν πα<ν>τεράτων ὀνομάτων· οισια ει ει αω ηυ ααω ϊωϊαϊαϊω σωθου βερβροϊ· ἀκτε<ρο>βόρε, γεριη ιηουα· ‘ἄξον μοι φῶς καὶ τὸ καλόν σου πρόσωπον καὶ ἀληθῆ τὴν φι<α>λομαντεί[αν], πυριλαμ<πῆ, ἀμ>φιπυριφερῆ, ἐκηστασίχθων, ϊω ϊω φθαιη θουθοι φαεφι. ποίει.’ ποίησις· καθαρεύσας, ὡς ἔμαθες, καὶ λαβὼν ποτήριον χάλκεον γράψον διὰ ζμυρνομέλανος τὴν προγεγραμμένην στήλην ἐπικαλουμένην Ἀφροδίτην καὶ χρῆσαι ἐλαίῳ ἀ[ν]απτικῷ καὶ ὕδατι ποταμίῳ καθαρῷ. θὲς δὲ τὸ ποτήριον ἐπὶ τὰ γόνατά σου καὶ ἐπίλεγε τὴν στήλην τὴν προκειμένην, καὶ φανήσεταί σοι ἡ θεὸς καὶ χρηματίζει, περὶ ὧν θέλεις.*

## VII 348-358

*Μαντεῖον ἐπὶ παιδός. κατακλίνας ἐπὶ τὸ ἔδαφος*
*λέγε, καὶ φανήσεται αὐτῷ παιδίον μελάνχρουν.*
*λόγος· ‘ἐπικαλοῦμαι ὑμᾶς, χάους καὶ ἐρέβους, βυθοῦ, γαίας*
*οἰκήτορας, οὐρανοῦ, σκότους ἐπόπτας, ἀθεωρήτων*
*δεσπότας, κρυφίμων φύλ[α]κας, χθονίων ἡγεμόνας,*
*ἀπείρων διοικητάς, κραταιόχθονας, χασμαθυπουρ-*
*γούς, φρικτοπαλαίμονας, φοβοδιάκτορας, σκοτιοερέ-*
*βους, ἀναγκεπόπτας, κρημνοκράτορας, ἀλγεσιθύμους,*
*βαρυδαίμονας, σιδηροψύχους, βιθουραρα ασουημαρα*
[.]*ọτρουρ μουρρουρ αφλαυ μανδραρουρου σου μαραρου,*
*χρηματίσατε, περὶ οὗ σκέπτομαι πράγματος.’ κοινόν.*

## VII 740-55

*<Ὀνειραιτητόν. γράψον> εἰς π[τ]ύχιον κασσιτέρινον καὶ*
*ἐπιστεφανώσας*
*μύρτοις τὸ πτύχιον θὲς τὸ θυμιατήριον.*
*ἐπίθυε δὲ λίβανον καὶ περιένεγκον λέγων*
*περὶ τὴν ἀτμί[δ]α τὸ πέταλον· ‘κύριοι θεοί,*
*χρηματίσατέ μοι περὶ τοῦ δεῖνα πράγματος*
*ταύτῃ τῇ νυκτί, ταῖς ἐπερχομέναις ὥρ[αις.]*
*πάντως δέομαι, ἱκετεύω, δοῦλος ὑμέτερος*
*καὶ τεθρονισμένος ὑμῖν.’ ἔπειτα θεὶς ὑπὸ τὸ*
*προκεφάλαιον τὸ π[τ]ύχιν κοιμῶ, μηδενὶ δοὺς*
*ἀπόκρισιν, ἁγνεύσας ἡμέρας γʹ. λόγος ὁ γραφόμενος·*
*‘μου αμου: αυ Ἰάω αβαρβαρασα αϊω βαωα*
*χφηνουρις αωβ: αμο Ἀδωνάϊ: ωιγ*
*ιιιι οθθουω αορχα αρορχα χαξυν#83νηρε*
*θιραρι οθω χοωθ ερρε: οχω ανα*
*ηεφρορε: χειρ ηϊν· ιηιω ωωααμαδ̣α̣α //*
*οοο ωωω ωωα.’ γράψον χαλκῷ γραφείῳ.*

## VII 795-845

*Ὀνειραιτητὸν Πυθαγόρου κ[αὶ] Δημοκρίτου ὀνειρό-*
*μαντις μαθηματικός. ὁ εἰσερχόμενος*
*ἄγγελος ἡλίῳ ὑποτέτακται καὶ ὡς ὑπο-*
*τεταγμένος ἡλίῳ εἰσέρχεται, οὕτως ἐν φί-*
*λου σου, οὗ γνωρίζεις, σχήματι εἰσέρχεται,*
*ἔχων ἀστέρα ἔκλαμπρον ἐπὶ τῆς κεφαλῆς,*
*ποτὲ δὲ καὶ πύρινον εἰσέρχεται ἔχων ἀστέραν.*
*λαβὼν οὖν κλάδον δάφνης ἐπίγραψον εἰς ἕκαστον*
*φύλλον ζῴδιον κινναβάρει (καὶ τὸ ὄνομα αὐτοῦ*
*τοῦ ζῳδίου προσυπογράφων), ἐστεμμένος.*
*καὶ αὕτη ἡ πρᾶξις ἔ[ν]θεος· διὸ ἐν στέρ-*
*νοις ἔχων τὰ ὑπ’ ἐμοῦ σοι δηλωθέντα*
*καὶ μετὰ τὴν ἀπόλυσιν τοῦ βίου τοῦ ἐμοῦ*
*ὁσίως π̣ράξας ἐπιτεύξῃ.*
*ἔστιν δὲ*
*κριοῦ Ἁρ Μονθ Ἁρ θω χε αʹ*
*ταύρου νεοφοβωθα θοψ* [][]*Β*
*διδύμων αρισταναβα ζαω* [][]*Γ*
*καρκίνου πχορβαζαναχαυ* [][] [][] [][]
*λέοντος ζαλαμοιρλαλιθ* [][] [][]
*παρθένου ειλεσιλαρμου φαι* [][] [][]

ζυγοῦ ταντινουραχθ
σκορπίου χορχορναθι [] [] []
τοξότου φανθενφυφλια [] [] [] []
αἰγοκέρως αζαζαεισθαιλιχ []
ὑδρηχόου μεννυ Θύθ, Ἰάω [] [] []
ἰχθῦς σερυχαρραλμιω [] ΙΒ
λαβὼν καὶ ἕτερον φύλλον δάφνης βασιλικῆς
ἐπίγραψον κινναβάρει θεοῦ ζῶντος ὄνομα τοῦτο·
'χαλχανα φοε κοσκιανω· (ιθ')
αλημοṇταḷḷ[.] ασειχ.' ἐπιγράψας δὲ ἐπὶ ἡμέρας γ'
τόδε ποίει· ἐντύλισσε τὰ φύλλα ἐν σουδαρίῳ καινῷ
καὶ τίθει ὑπὸ τὴν κεφαλήν σου. ἐλθὼν ἀέρος δυσμικοῦ ἐπιθύων
λίβανον λέγε τὸν λόγον· 'Ἐπικαλοῦμαί [σ]ε, ἅγιε ἄγγελε
Ζιζαυβιω ἀπὸ τῆς Πλειάδος τάξ[ε]ως, ᾗ ὑποτέταξαι
καὶ δουλεύεις <εἰς> ἅπαντα καὶ εἰς ὃ ἂν σε κελεύσει, σὺ
μέγας, ἄφθαρτος, πυρίπνους, εἷς τὴν οὐρανοῦ σει<ρ>άν,
δι' ἧς τὰ πάντα στρέφουσιν ἐπὶ γῆν, καὶ ὑμᾶς δὲ
αὐτούς, ὅσοι ἐστὲ ἄγγελοι ὑπὸ τὴν δύναμιν
αὐτοῦ τεταγμένοι· διὸ παρακαλῶ, ἵνα τάχει ἔλθητε
ἐν τῇ νυκτὶ ταύτῃ καὶ δηλώσητέ μοι, περὶ ὧν
θέλω, σαφῶς καὶ βεβαίως. ἐξορκίζω σέ, κύριε
ἀνατέλλ[ων] κατὰ γαῖαν τόπου ὅλου κοσμικοῦ, κα-
τὰ τοῦ κυριεύοντος τὴν ὅλην οἰκουμένην
καὶ εὐεργετοῦντος τὰ πάντα, διὸ παρακαλῶ σε
ἐν ταύτῃ τῇ νυκτί, καὶ πάντα μοι δηλώσῃς
κατὰ τοὺς ὕπνους ἐπ' ἀκριβείας, ἄγγελε
Ζιζαυβιω.' ἐλθὼν πρὸς ἑαυτὸν καὶ λιβανωτίσας
τὸν κλάδον θὲς πρὸς κεφα[λήν σου κα]ὶ κοιμῶ ἁγνός.
σχεδὸν δὲ <ὁ τόπος>, οὗ ποιεῖς, ἤτω παναγνός. τὸ δὲ φυλακτήριον,
ὅπου τὸ ὄνομα ἐγγ<έγ>ραφας, θὲς πρὸ<ς> κεφαλήν σου, τὸ<ν> δὲ
κλάδον στέφου.

**VIII 64-110**

Ὀνειραιτητὸν τοῦ Βησᾶ· οὕτω ζωγράφησον
εἰς τὴν εὐώνυμόν σου χεῖραν τὸν Βησᾶν, ὡς ὑπο-
δείκνυταί σοι, καὶ περίβαλε τὴν χεῖρά σου μέλανι ῥάκκει
Ἰσιακῷ καὶ κοιμῶ μηδενὶ δοὺς ἀπόκρισιν, ἑλίξας
τὸ ὑπόλοιπον τοῦ ῥάκους περὶ τὸν τράχηλόν σου. ἔστι
δὲ τὸ μέλα[ν], ἐν ᾧ γράφεις· αἷμα κορώνης, αἷμα περι-
στερᾶς λευκῆς, λίβανος ἄτμητος καὶ ζμύρνα καὶ μέλαν
γραφικ[ὸ]ν καὶ κιννάβαρις καὶ ὀπὸς συκαμίνου καὶ
ὕδωρ ὄμβριον καὶ χυλὸς ἀρτεμι<σί>ας μονοκλώνου καὶ
κατανάγκης. ἐν τούτῳ γράφε. ἐξήγησις αὐτοῦ πρὸ<ς> ἥλιον
δύνοντα· 'Ἀεροφοιτάτων ἀνέμων ἐποχούμενος
αὔραις, Ἥλιε χρυσοκόμα, διέπων φλογὸς ἀκάματον
φῶς, αἰθερίαις τροπαῖς μέγαν πόλον ἀμφὶς ἐ-
λάων, γεν<ν>ῶν αὐτὸς ἅπα<ν>τα, ἅπερ πάλιν ἐξαναλύεις·
ἐξ οὗ γὰρ πέφυκε στοιχεῖα τεταγμένα σοῖσι νόμοισι,
κόσμον ἅπαν<τα> τρέπουσι τετράτροπον εἰς ἐνιαυτόν.
ἢν γαίης κευθμῶνα μόλῃς, νεκύων ἐνὶ χώρῳ,
πέμψον μάντιν ἐξ ἀδύτων τὸν ἀληθέα, λίτομαί σε
λαμψουηρ: σουμαρτα: βαριβας: δαρδαλαμ: [φ]ορβηξ, κύριε,
ἔκπεμψον τὸν ἱερὸν δαίμονα Ἀνούθ: Ἀνούθ: σαλβανα

*χαμβρη: βρηιθ: ἤδη, ἤδη, ταχύ, ταχύ· ἐν τῇ νυκτὶ ταύτῃ ἐλθέ΄.*
*ἐὰν θέλῃς καὶ αὔτοπτον αὐτὸν καλέσαι, [λαβ]ὲ βύ[σσινο]ν*
*ῥάκος καὶ βρέξας εἰς σησάμινον ἔλαιον [μετ]ὰ κι[ννα-]*
*βάρεως λειώσας καὶ ἐνλυχνιάσας λύχνον [ἀ]μίλ[τωτ]ον*
*καιέσθω σησαμίνῳ ἐλαίῳ τὸ λύχνον καὶ θὲς ἄν[τικρ]ύς*
*σου λέγων τὸν λόγον, καὶ ἐλεύσεται πρὸς σέ. ἔχε ἔγγιστά σου*
*πινακίδα, ἵνα ὅσα λέγει γράψῃς, ἵνα μὴ κοιμη[θ]εὶς*
*ληθαργήσῃς. ‘ἐπικαλοῦμαί σε, τὸν ἀκέφαλον θεόν, σοῖς*
*παρὰ τοῖ<ς> ποσὶν ἔχοντα τὴν ὅρασιν, τὸν ἀστράπτοντα*
*καὶ βροντάζοντα. σὺ εἶ, οὗ τὸ στόμα διὰ παντὸς πυ-*
*ρὸς γέμει, ὁ ἐπὶ τῆς Ἀνάγκης τεταγμένος. ἐπικα- λοῦμαί σε, τὸν ἐπὶ*
*τῆς Ἀνάγκης τεταγμένον θεὸν*
*Ἰαεω· Σαβαώθ: Ἀδωναί: Ζαβαρβαθιάω: σὺ εἶ ὁ ἐ-*
*πὶ τῇ ζ<μ>υρνίνῃ σορῷ κατακείμενος, ἔχων ὑπα-*
*γ<κ>ώνιον ῥητίνην καὶ ἄσφαλτον, ὃν λέγουσιν· Ἀνούθ:*
*Ἀνούθ: ἀνάστα, δαίμων· οὐκ εἶ δαίμων, ἀλλὰ τὸ αἷμα*
*τῶ<ν> δύο ἱεράκων τῶν πρὸς κεφαλῆς τοῦ Ὀσίρεως*
*λαλούντων καὶ ἀγρυπνούντων. σὺ εἶ ὁ χρησμῳδὸς*
*θεὸς Σαλβαναχαμβρη: Ἀνούθ: Ἀνούθ: Σαβαώθ: Ἀδωναί:*
*ιη ιε ιη ιε (κοινόν).’ κοιμῶ δὲ ἐπὶ θρυΐνη<ς> ψιάθου ἔ-*
*χων προ<ς> κεφαλῆς σου πλίνθον ὠμήν. ἔστιν δὲ*
*ὃ γράφεις, τοιοῦτο· ἄνθρωπος γυμνός, ἑστώς, ἔχων βασί-*
*λειον ἐπὶ τῆς κεφαλῆς, ἐν δὲ τῇ δεξιᾷ χειρὶ*
*ξίφος καμπῇ ἐπὶ τὸν τράχηλον κείμενον καὶ ἐν*
*τῇ εὐωνύμῳ ῥάβδον. ἐὰν δὲ χρηματίσῃ σοι, ῥοδίνῳ*
*μύρῳ ἀπάλειψόν σου τὴν χεῖραν. ἔστι δὲ ζῴδιον*
*τῆς πράξεως·*

Homer, *Odyssey* xi. 13-49

*ἡ δ᾽ ἐς πείραθ᾽ ἵκανε βαθυρρόου Ὠκεανοῖο.*
*ἔνθα δὲ Κιμμερίων ἀνδρῶν δῆμός τε πόλις τε,*
*ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ᾽ αὐτοὺς*
*Ἠέλιος φαέθων καταδέρκεται ἀκτίνεσσιν,*
*οὔθ᾽ ὁπότ᾽ ἂν στείχῃσι πρὸς οὐρανὸν ἀστερόεντα,*
*οὔθ᾽ ὅτ᾽ ἂν ἂψ ἐπὶ γαῖαν ἀπ᾽ οὐρανόθεν προτράπηται,*
*ἀλλ᾽ ἐπὶ νὺξ ὀλοὴ τέταται δειλοῖσι βροτοῖσι.*
*νῆα μὲν ἔνθ᾽ ἐλθόντες ἐκέλσαμεν, ἐκ δὲ τὰ μῆλα*
*εἱλόμεθ᾽· αὐτοὶ δ᾽ αὖτε παρὰ ῥόον Ὠκεανοῖο*
*ᾔομεν, ὄφρ᾽ ἐς χῶρον ἀφικόμεθ᾽, ὃν φράσε Κίρκη.*
*ἔνθ᾽ ἱερήϊα μὲν Περιμήδης Εὐρύλοχός τε*
*ἔσχον· ἐγὼ δ᾽ ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ*
*βόθρον ὄρυξ᾽ ὅσσον τε πυγούσιον ἔνθα καὶ ἔνθα,*
*ἀμφ᾽ αὐτῷ δὲ χοὴν χεόμην πᾶσιν νεκύεσσι,*
*πρῶτα μελικρήτῳ, μετέπειτα δὲ ἡδέϊ οἴνῳ,*
*τὸ τρίτον αὖθ᾽ ὕδατι· ἐπὶ δ᾽ ἄλφιτα λευκὰ πάλυνον.*
*πολλὰ δὲ γουνούμην νεκύων ἀμενηνὰ κάρηνα,*
*ἐλθὼν εἰς Ἰθάκην στεῖραν βοῦν, ἥ τις ἀρίστη,*
*ῥέξειν ἐν μεγάροισι πυρήν τ᾽ ἐμπλησέμεν ἐσθλῶν,*
*Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄϊν ἱερευσέμεν οἴῳ*
*παμμέλαν᾽, ὃς μήλοισι μεταπρέπει ἡμετέροισι.*
*τοὺς δ᾽ ἐπεὶ εὐχωλῇσι λιτῇσί τε, ἔθνεα νεκρῶν,*
*ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα*
*ἐς βόθρον, ῥέε δ᾽ αἷμα κελαινεφές· αἱ δ᾽ ἀγέροντο*

*ψυχαὶ ὑπὲξ Ἐρέβευς νεκύων κατατεθνηώτων·*
*νύμφαι τ' ἠΐθεοί τε πολύτλητοί τε γέροντες*
*παρθενικαί τ' ἀταλαὶ νεοπενθέα θυμὸν ἔχουσαι,*
*πολλοὶ δ' οὐτάμενοι χαλκήρεσιν ἐγχείῃσιν,*
*ἄνδρες ἀρηΐφατοι, βεβροτωμένα τεύχε' ἔχοντες·*
*οἳ πολλοὶ περὶ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος*
*θεσπεσίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.*
*δὴ τότ' ἔπειθ' ἑτάροισιν ἐποτρύνας ἐκέλευσα*
*μῆλα, τὰ δὴ κατέκειτ' ἐσφαγμένα νηλέϊ χαλκῷ,*
*δείραντας κατακῆαι, ἐπεύξασθαι δὲ θεοῖσιν,*
*ἰφθίμῳ τ' Ἀΐδῃ καὶ ἐπαινῇ Περσεφονείῃ·*
*αὐτὸς δὲ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ*
*ἥμην οὐδ' εἴων νεκύων ἀμενηνὰ κάρηνα*
*αἵματος ἄσσον ἴμεν πρὶν Τειρεσίαο πυθέσθαι.*

PGM XXIII papyrus fragment (265mm x 223mm), discovered at Oxyrhynchus in Egypt, dating c. 265 CE (the reverse side has a document dating to reign of Emperor Tacitus (275-276 CE)

Kestos of Julius Africanus, book 5.
*Ἰουλίου Ἀφρικανοῦ Κεστὸς ιη'.*

(1.) *[Τοὺς δ' ἐπεὶ εὐχωλῇσ]ι λιτῇσί τε, ἔθνεα νεκρῶν,*
*[ἐλλισάμην, τὰ] δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα*
*[ἐς βόθρον· ῥέε] δ' αἷμα κελαινεφές· αἱ δ' ἀγέροντο*
*[ψυχαὶ ὑπὲξ Ἐρέ]βευς νεκύων κατατεθνηώτων*
*[νύμφαι τ' ἠίθ]εοί τε πολύτλητοί τε γέροντες*
*[παρθενικαί τ'] ἀταλαὶ νεοπενθέ' ἄωτον ἔχουσαι·*
*[πολλοὶ δ' οὐ]τάμενο[ι χ]αλκήρεσιν ἐγχείῃσιν,*
*[ἄνδρ]ες [ἀρ]ηίφατοι β[εβ]ροτωμένα τεύχε' ἔχοντες*
*[οἳ πολλ]οὶ παρὰ βόθρον ἐφοίτων ἄλλοθεν ἄλλος*
*[θεσπε]σίῃ ἰαχῇ· ἐμὲ δὲ χλωρὸν δέος ᾕρει.*
*[Αὐτὰρ] ἐγὼ ξίφος ὀξὺ ἐ[ρ]υσάμενος παρὰ μηροῦ*
*[ἥμην, ο]ὐδ' εἴων νεκύων ἀμενηνὰ κάρηνα*
*[αἵματο]ς ἆσσον ἴμεν καὶ ἀμειβόμενος ἔπος ηὔδων·*
(*ἃ δεῖ ποιῆσαι εἴρηκεν*)
*«[ὦ ποτα]μοὶ καὶ γαῖα καὶ οἳ ὑπένερθε κάμοντας*
*[ἀνθρώ]πους τ[ί]νεσθον, ὅτις κ' ἐπ[ί]ορκον ὀμόσσῃ,*
*[ὑμεῖς] μάρτυροι ἔστε, τελείετε δ' ἄμμιν ἀοι[δή]ν·*
*[ἦλθον] χρησόμενος ὡς ἂν εἰς γαῖαν ἱκάνω*
*[Τηλεμ]άχου γε, ὃν ἔλειπον ἐπὶ κόλποισι τ[ιθή]νης,*
*[τέκνο]ν ἐμόν»· τοίη γὰρ ἀρίστη ἦν ἐπαοιδ[ή].*
(*ἃ δεῖ ἐπᾴσαι λέγει* )
*«[κλῦθί] μοι, εὐμειδὴς καὶ ἐπίσκοπος, εὔσπο[ρ' Ἄν]ουβι*
*† ...α̣υλλ̣λ̣ιπαε παρευνεταωσι ρ̣ει † ...*
*[ἔλθ' Ἑρ]μῆ, ἅρπαξ, δεῦρ' εὐπλόκαμε χθόνιε Ζεῦ,*
*[κῦρσ]αι δωσάμενοι κρηήνατε τήνδ' ἐπαοιδήν·*
*[δεῦρ' Ἄιδ]η καὶ Χθών, πῦρ ἄφθιτον, Ἥλιε Τιτάν,*
*[ἐλθὲ καὶ] Ἰάα καὶ Φθᾶ καὶ Φρῆ νομοσώσω[ν],*
*[καὶ Νεφ]θὼ πολύτιμε καὶ Ἀβλαναθὼ πολύολβε,*
*[πυρσ]οδρακοντόζων', ἐρυσίχθων, ἰβικαρείη,*
*[Ἀβραξ]ᾶ, περίβωτε τὸ κοσμικὸν οὔνομα δαίμων,*
*[ἄξονα] καὶ χορίον καὶ φῶτα νέμων παγέρ' Ἄρκτων,*
*[ἐλθὲ κ]αὶ ἐνκρατείᾳ πάντων προφερέστερ' ἐμοί, Φρήν,*

*† ...ωριευ και φασιε και σισυων̣ †*
*[καὶ Γε]νεὰ καὶ Ἀπηβιοτὰ καὶ Πῦρ καλλιαιθές,*
*[ἔλθ' Ἶσι]ς χθονία καὶ οὐρανία καὶ ὀνείρω[ν]*
*[ἣ μεδέει]ς καὶ Σείρι' ὃς ...»*
*[Καὶ τάδ]ε μὲν παρὰ βόθρον ἐγὼν ἤϋσα παραστάς·*
*[εὖ γὰρ] ἐμεμνήμην Κίρκης ὑποθημοσυνά[ω]ν*
*[ἣ τόσα φ]άρμακα οἶδεν ὅσ[α] τρέφει εὐρεῖα χθών·*
*[ἦλθεν δὲ] μέγα κῦμα λεον[τ]ομάχου Ἀχέροντος*
*[Κωκυτὸς] Λήθη τε Πολυφλεγέθων τε μέγιστος,*
*[καὶ νεκ]ύων στόλος ἀμφιπαρίστατο καὶ παρὰ βόθρον·*
*[πρώτη δ]ὲ ψυχὴ Ἐλπήνορος ἦλθεν ἑταίρου.*
*(τά θ' ἑξῆς)*

*Εἴτ' οὖν οὕτως ἔχον αὐτὸς ὁ ποιητὴς τὸ περίεργον τῆς ἐπιρρσεως τὰ ἄλλα διὰ τὸ τῆς ὑποθέσεως ἀξίωμα σεσιώπηκεν, εἴθ' οἱ Πεισιστρατίδαι τὰ ἄλλα συνράπτοντες ἔπη ταῦτα ἀπέσχισαν, ἀλλότρια τοῦ στοίχου τῆς ποιήσεως ἐκεῖ ἐπικρίναντες † ἐπ[ὶ] πολλο[ῖ]ς ἔγνων †· ἅτε κύημα [πο]λυτε[λ]έστερον ἐπικ[ῆ]ς αὐτὸς ἐνταυθοῖ κατέταξα· τήνδε τὴν σύμπασαν ὑπόθεσιν ἀνακειμένην ε[ὑ]ρέσεις ἔν τε τοῖς ἀρχείοις τῆς ἀρχαίας π[α]τρίδος κολων[ία]ς [Α]ἰλίας Καπιτωλίνης τῆς Παλαιστίνης κἀν Νύσῃ τῆς Καρίας, μέχρι δὲ τοῦ τρισκαιδεκάτου ἐν Ῥώμῃ πρὸς ταῖς Ἀλεξάνδρου θερμαῖς ἐν τῇ ἐν Πανθείῳ βιβλιοθήκῃ τῇ καλῇ ἣναὐτὸς ἠρχιτεκτόνησα τῷ Σεβαστῷ.*

Plutarch, *De E* 387bc

*καὶ μάντις μὲν*

(B.) *ὁ θεὸς μαντικὴ δὲ τέχνη περὶ τὸ μέλλον ἐκ τῶν παρόντων ἢ παρῳχημένων· οὐδενὸς γὰρ οὔτ' ἀναίτιος ἡ γένεσις οὔτ' ἄλογος ἡ πρόγνωσις· ἀλλ' ἐπεὶ πάντα τοῖς <τε> γεγονόσι τὰ γιγνόμενα τά τε γενησόμενα τοῖς γιγνομένοις ἕπεται καὶ συνήρτηται κατὰ διέξοδον ἀπ' ἀρχῆς εἰς τέλος περ-* (5) *αίνουσαν, ὁ τὰς αἰτίας εἰς ταὐτὸ συνδεῖν τε πρὸς ἄλληλα καὶ συμπλέκειν φυσικῶς ἐπιστάμενος οἶδε καὶ προλέγει*

> *'τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.'* (7)

*καὶ καλῶς Ὅμηρος (Α* 70*) πρῶτον ἔταξε τὰ παρόντα* (8) *εἶτα τὸ μέλλον καὶ τὸ παρῳχημένον· ἀπὸ γὰρ τοῦ ὄντος ὁ συλλογισμὸς κατὰ τὴν τοῦ συνημμένου δύναμιν, ὡς 'εἰ* (10) *τόδ' ἐστί, τόδε προηγεῖται' καὶ πάλιν 'εἰ τόδ' ἐστί, τόδε* (C.) *γενήσεται.' τὸ γὰρ τεχνικὸν καὶ λογικὸν ὥσπερ εἴρηται γνῶσις ἀκολουθίας, τὴν δὲ πρόσληψιν ἡ αἴσθησις τῷ λόγῳ δίδωσιν. ὅθεν, εἰ καὶ γλίσχρον εἰπεῖν, οὐκ ἀποστρέ- ψομαι τοῦτον εἶναι τὸν τῆς ἀληθείας τρίποδα τὸν λόγον, ὃς τὴν τοῦ λήγοντος πρὸς τὸ ἡγούμενον ἀκολουθίαν θέ-* (5) *μενος εἶτα προσλαβὼν τὴν ὕπαρξιν ἐπάγει τὸ συμπέρασμα τῆς ἀποδείξεως.*